www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΘΕΩΝΑ

## ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΘΕΣΣΑΛΟΝΙΚΗΣ

ΨΑΛΛΟΜΕΝΗ Τῌ ΤΕΤΑΡΤῌ ΚΥΡΙΑΚῌ ΤΩΝ ΝΗΣΤΕΙΩΝ

ΠΟΙΗΜΑ ΑΓΙΟΥ ΝΙΚΟΔΗΜΟΥ ΤΟΥ ΑΓΙΟΡΕΙΤΟΥ



ΕΚ ΧΕΙΡΟΓΡΑΦΟΥ ΙΕΡΑΣ ΜΟΝΗΣ
ΑΓΙΑΣ ΑΝΑΣΤΑΣΙΑΣ ΤΗΣ ΦΑΡΜΑΚΟΛΥΤΡΙΑΣ
ΘΕΣΣΑΛΟΝΙΚΗΣ

## ΝΙΚΟΔΗΜΟΥ ΤΟΥ ΑΓΙΟΡΕΙΤΟΥ, ΑΚΟΛΟΥΘΙΑ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΘΕΩΝΑΝ ΑΡΧΙΕΠΙΣΚΟΠΟΝ ΘΕΣΣΑΛΟΝΙΚΗΣ

Τῇ Τετάρτῃ Κυριακῇ τῶν Νηστειῶν,
Μνήμην ἐπιτελοῦμεν
τοῦ Ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν Θεωνᾶ
τοῦ Κτίτορος τῆς κατὰ τὴν Θεσσαλονίκην
Ἱερᾶς Μονῆς Ἁγίας Ἀναστασίας τῆς Φαρμακολυτρίας.

Ἡ δὲ τοῦ Ἁγίου Ἰωάννου τῆς Κλίμακος Ἀκολουθία ψάλλεται τῇ λῃ Μαρτίου, ὅτε καὶ τελεῖται ἡ μνήμη τῆς αὐτοῦ τελειώσεως.

*Ἐν τῷ Μικρῷ Ἑσπερινῷ, ἱστῶμεν Στίχους δ', καί ψάλλομεν τά ἑξῆς Προσόμοια.*

Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Ὅτε τοῦ Κυρίου τὸν σταυρόν, ἦρας ἐπὶ ὤμων σου Πάτερ, καὶ καρτερώτατα, πρὸς τοὺς τῆς ἀσκήσεως, ἄθλους ἐχώρησας, καὶ σαρκὸς ἔξω γέγονας, καὶ πάσας ἐνέδρας, τοῦ ἐχθροῦ νενίκηκας, Θεωνᾶ Ὅσιε, τότε τῶν δαιμόνων τὰ πλήθη, θρήνοις πρὸς ἀλλήλους ἐβόων· Φίλοι ἡ ἰσχὺς ἡμῶν ἐξέλιπεν.

Ὅτε ἀναβάσεις ἱεράς, ἐν τῇ σῇ καρδίᾳ διέθου, θεόφρον Ὅσιε, καὶ Ἁγίου Πνεύματος, οἶκος γεγένησαι, καὶ εἰς ἄκρον ἐλήλυθας, τῆς ἐκδεχομένης, βροτοῖς τελειότητος, θεομακάριστε, τότε τῶν Ἀγγέλων τὰ πλήθη, χαίροντα κροτοῦντα στεφάνοις, κεφαλήν σου θείαν ἐστεφάνωσαν.

Ὅτε τὴν παροῦσάν σου Μονήν, ἤγειρας εἰς δόξαν Κυρίου, καὶ κατεκόσμησας, τύποις τῆς ἀσκήσεως, Θεωνᾶ Ὅσιε, καὶ κοινὸν φροντιστήριον, ἀρετῆς εἰργάσω, ἔργοις τε καὶ λόγοις σου, θεομακάριστε, τότε μοναζόντων τὰ πλήθη, ἐν αὐτῇ συνέτρεχον πόθῳ, καὶ τὴν σωτηρίαν ἐκομίζοντο.

Ὅτε ἐπινεύσει θεϊκῇ, εἰς τὸν Θετταλίας προέβης, θρόνον πανάγιον, καὶ πιστοὺς κατήρδευσας, ταῖς μελιρρύτοις σου, διδαχαῖς ζῶν μακάριε, μετὰ δὲ τὸ τέλος, τοῖς ἐκ τοῦ λειψάνου σου, θαυμάτων νάμασι, τότε φιλοχρίστων τὰ πλήθη, τῆς διπλῆς ἐκ σοῦ ὠφελείας, πόθῳ ἀπολαύοντες ἠγάλλοντο.

Δόξα. Ἦχος α'.

Τὸν ἐν Ἱεράρχαις Ὅσιον, καὶ ἐν Ὁσίοις Ἱεράρχην, Θεωνᾶν τὸν ἀοίδιμον, ᾄσμασιν ἱεραρχικοῖς, ἅμα καὶ ὁσιακοῖς, τῶν τελειωτικῶν Ἱεραρχῶν, καὶ τῶν

www.texaurliturgic.ro

τελειουμένων Μοναχῶν αἱ χορεῖαι, χρεωστικῶς εὐφημήσωμεν. Οὗτος γὰρ ἐν τῇ ἀσκήσει, διὰ τῆς ἄκρας ἀπαθείας, ἑαυτοῦ πρότερον ἄρξας, ἑτέρων ἔπειτα ἄρχειν πεπίστευται. Καὶ τοῦ θαυματουργοῦ Γρηγορίου, ὕστερον μὲν τοῖς χρόνοις, εὐθὺς δὲ μετ' ἐκεῖνον τοῖς τρόποις, τῆς Θεσσαλονικέων προέστη μεγαλουπόλεως· καὶ τούτους ὡς ποιμὴν ἀληθινός, διὰ τῶν ἀπειλῶν καὶ ἐπαγγελιῶν, ὡς διὰ ῥάβδου ποιμάνας καὶ σύριγγος, εἰς τὰς αἰωνίους μάνδρας εἰσήγαγε· καὶ νῦν σὺν αὐτοῖς εὐφραινόμενος, πρεσβεύει ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. *Τὸ Δογματικὸν τοῦ λαχόντος ἤχου τῆς 'Οκτωήχου. Εἶτα τὰ*

'Απόστιχα Προσόμοια.

### Ἦχος β'. Οἶκος τοῦ Εὐφραθᾶ.

Ἅρμα τῆς Παντουργοῦ, χάριτος ἀνεδείχθης, καὶ οἶκος τῆς Τριάδος, τερπνός τε καὶ ὡραῖος, Πατρὸς Υἱοῦ καὶ Πνεύματος.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Λίβανος Θεωνᾶ, νάρδος κρόκος καὶ σμύρνα, καὶ πάντα πρῶτα μύρα, ὀσμὴ ἡ τῶν ὀστῶν σου, πᾶσι πιστοῖς γνωρίζεται.

Στίχ. Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην...

Λύτρωσαι Θεωνᾶ, παντοίας ἐπηρείας, τοὺς ἐκτελοῦντας μνήμην, τὴν σὴν καὶ προσκυνοῦντας, τὸ ἱερόν σου λείψανον.

Δόξα. Ἦχος δ'.

'Ιακώβου τοῦ ἐν 'Οσίοις, καὶ Μάρτυσι, νεοφανῶς δίκην ἡλίου ὁλολαμπῶς ἐξαστράψαντος, καὶ τῶν ἀρρήτων Θεοῦ μυστηρίων, γνώστου καὶ θεατοῦ χρηματίσαντος, μαθητὴς γεγονὼς Θεωνᾶ παναοίδιμε, παρήλιος οἷον λαμπρότατος ἀναδέδειξαι, ὅλας τὰς θεαυγῶν χαρισμάτων ἐκείνου ἀντανακλάσεις ἐν σεαυτῷ εἰσδεξάμενος· μαρτύριον δὲ ἀψευδές, ὅτι τοσούτους ἔχων τοὺς μαθητάς, σὲ μόνον προεστῶτα τῶν ἄλλων ἀποκατέστησε, καὶ σοὶ ὑποτάσσεσθαι ὡς αὐτῷ ἐκείνῳ τοὺς λοιποὺς παρηγγύησε· διὸ καὶ τῆς ἴσης δόξης αὐτῷ ἐν οὐρανοῖς ἀπολαύων μακάριε, πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. 'Εκ παντοίων κινδύνων τοὺς δούλους σου...

*'Απολυτίκιον.* Ἦχος πλ. δ'.

'Ορθοδοξίας ὁδηγέ, εὐσεβείας διδάσκαλε καὶ σεμνότητος, τῶν Μοναστῶν ἡ καλλονή, 'Αρχιερέων θεόπνευστον ἐγκαλλώπισμα, Θεωνᾶ Πατὴρ ἡμῶν Ὅσιε, Θεσσαλονίκης τὸ καύχημα, λύρα τοῦ Πνεύματος, ἱκέτευε διὰ παντός, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. 'Ο δι' ἡμᾶς γεννηθεὶς ἐκ Παρθένου, καὶ σταύρωσιν...

*Καὶ 'Απόλυσις.*

www.lezaurliturgic.ro

*Ἐν δὲ τῷ Μεγάλῳ Ἑσπερινῷ, ἐν τῇ Ἀγρυπνίᾳ, ψάλλομεν τό, Μακάριος ἀνήρ. Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν Στίχους ι'. Ἀναστάσιμα τοῦ τυχόντος ἤχου δ', καὶ τοῦ Ἁγίου Θεωνᾶ στ' Προσόμοια *.*

Ἦχος δ'. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ἱεράρχην τὸν ἔνθεον, Θετταλίας τὸν πρόεδρον, Θεωνᾶν τὸ ἥδιστον πᾶσιν ὄνομα, τῶν ἀσκητῶν τὸ ἀγλάϊσμα,* Μονὴν τὸν ἱδρύσαντα, τὴν παροῦσαν εὐκλεῶς, ἀρετῆς φροντιστήριον, Ἱεράρχαι τε, καὶ Ὁσίων οἱ δῆμοι συνελθόντες, ἱεραῖς ἐν ὑμνῳδίαις, μεγαλοφώνως τιμήσωμεν.

Τῷ ἀΰλῳ σου πνεύματι, Θεωνᾶ παμμακάριστε, μακαρίων πνεύματα συνευφραίνονται, τὸ ὑλικόν δέ σου λείψανον, οἱ δέσμιοι ἔχοντες, τῆς σαρκὸς πάντες ἡμεῖς, ψυχικῶς ἀγαλλόμεθα, παναοίδιμε, καὶ κοινὴ εὐφροσύνη συγκροτεῖται, οὐρανίων ἐπιγείων, ἐν τῇ σῇ μνήμῃ θεόσοφε.

Ὑπερφώτου Θεότητος, τῷ φωτὶ ἐλλαμπόμενος, ὅλος φῶς γεγένησαι ἱερώτατε, ὁλολαμπὴς ὅλος ἥλιος, φωτὸς ὅλος ἔμπλεως, ἐν φωτὶ φῶς καθορῶν, Θεωνᾶ ἀξιάγαστε, τὸν Πατέρα τε, τὸν Υἱὸν καὶ τὸ Πνεῦμα τὴν Τριάδα, ἐν Μονάδι καὶ Μονάδα, ἐν τῇ Τριάδι θεώνυμε.

Προσελθόντες προσπτύξασθε, μετὰ πόθου φιλόχριστοι, Θεωνᾶ τὸ λείψανον τοῦ τρισμάκαρος, καὶ ἐξ αὐτοῦ ἀρυόμενοι, θαυμάτων τὰ νάματα, ὡς ἐξ ἄλλου Σιλωάμ, τὸν Χριστὸν μεγαλύνατε, τὸν δοξάσαντα, καὶ ἐν γῇ καὶ ἐν πόλῳ τοῦτον ὄντως, ὡς αὐτὸν ἔργοις καὶ λόγοις, ἐν τῇ ζωῇ προδοξάσαντα.

Δόξα. Ἦχος α'.

Σαρκικῆς σχέσεως, καὶ ὑλικῆς προσπαθείας, ὁλικῶς ἐκκαθάρας τὸ πνεῦμά σου, θεόσοφε, τοῖς τρόποις τῶν ἀρετῶν διὰ πράξεως αὐτὸ κατεκόσμησας· τὸν λόγον δέ σου θεόφρον, ἀλόγου πάσης, καὶ ψευδοῦς δόξης ἀπαλλάξας, τοῖς πνευματικοῖς καὶ ἀληθέσι λόγοις τῶν ὄντων διὰ θεωρίας αὐτὸν κατεφώτισας· τὸν δὲ νοῦν σου Πάτερ, καὶ τῶν ψιλῶν ἐννοιῶν ἀπογυμνώσας, ἐν Ἁγίῳ Πνεύματι ἐτελείωσας, διὰ τῆς ὑψηλῆς καὶ ὑπὲρ φύσιν θεολογίας. Ὅθεν τὰς ἱερὰς τελετὰς τελέσας, καὶ τέλειος ἐν νοΐ καὶ λόγῳ, καὶ πνεύματι γενόμενος, τὸν ὑπερούσιον Νοῦν, καὶ Λόγον καὶ Πνεῦμα, τριαδικῶς τὴν Τριάδα κατώπτευσας· ἑνώσας δὲ πάλιν ταῦτα, ταῖς διηνεκέσιν ἐν συντονίᾳ, πρὸς τὸ ἐν ἀνατάσεσι, μοναδικῶς αὖθις τὴν ἐν Τριάδι Μονάδα ἀνύμνησας, καὶ κατὰ τὴν θεμιτὴν ἐμφέρειαν, τὸ κατ' εἰκόνα τὸ γνωμικὸν ἀποδοὺς καθομοίωσιν, ἀμφότερα κεκαθαρμένα, πρὸς τὸ ἀρχέτυπον ἐπανήγαγες. Ὢ τοῦ θαύματος! Οἵας δόξης ἠξίωται

---

* Ἢ ψάλλομεν Ἀναστάσιμα τοῦ τυχόντος ἤχου δ', τοῦ Ἁγίου Ἰωάννου τῆς Κλίμακος γ', καὶ τοῦ Ἁγίου Θεωνᾶ γ'.

* Διὰ χρῆσιν τῆς Ἀκολουθίας ἐκτὸς τῆς Ἱερᾶς Μονῆς Ἁγίας Ἀναστασίας τὰ ἑξῆς. *Ὁσίων τὸ καύχημα, Ἀσκητῶν καὶ Μοναστῶν, γεγονὼς ὁ θαυμάσιος, νῦν εὐφραίνεται, τοῖς Χριστοῦ Μαθηταῖς καὶ Ἀποστόλοις,* Ἰσαπόστολος *ὡς ἄλλος, καὶ Ἱεράρχης ὡς γνήσιος.*

www.tezaurliturgic.ro

ἡ χοϊκόμορφος φύσις! Θεὸς οὖν κατὰ χάριν, ἐνώπιον τοῦ φύσει Θεοῦ παριστάμενος, καὶ τῶν ἐκεῖθεν προβαλλομένων θεουργικῶν, καὶ πανολβίων χαρίτων ἀναπιμπλάμενος, πρέσβευε ὑπὲρ ἡμῶν Θεωνᾶ μακάριε.

Καὶ νῦν. *Θεοτοκίον. Τὸ α' τοῦ ἐπιλαχόντος ἤχου.*
*Εἴσοδος. Τό, Φῶς ἱλαρόν. Τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.*

Παροιμιῶν τὸ Ἀνάγνωσμα.

Μνήμη δικαίου μετ' ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὅς εὗρε σοφίαν, καὶ θνητός, ὅς εἶδε φρόνησιν· κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δὲ ἐστι λίθων πολυτελῶν· πᾶν δὲ τίμιον, οὐκ ἄξιον αὐτῆς ἐστιν· ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα· σεμνὰ γὰρ ἐρῶ, καὶ μακάριος ἄνθρωπος, ὅς τὰς ἐμὰς ὁδοὺς φυλάξει· αἱ γὰρ ἔξοδοί μου, ἔξοδοι ζωῆς, καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς, καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων· ὅτι ἐγὼ ἡ σοφία κατεσκεύασα βουλήν, καὶ γνῶσιν, καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια· ἐμὴ φρόνησις· ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν· σεμνὰ γὰρ ἐρῶ, καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά· ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου· ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῆ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου, οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν, καὶ πλησθήσεσθε Πνεύματος.

Σοφία Σολομῶντος τὸ Ἀνάγνωσμα.

Στόμα δικαίου ἀποστάζει σοφίαν, χείλη δὲ ἀνδρῶν ἐπίστανται χάριτας· στόμα σοφῶν μελετᾷ σοφίαν, δικαιοσύνη δὲ ῥύεται αὐτοὺς ἐκ θανάτου. Τελευτήσαντος ἀνδρὸς δικαίου, οὐκ ὄλλυται ἐλπίς· υἱὸς γὰρ δίκαιος γεννᾶται εἰς ζωήν, καὶ ἐν ἀγαθοῖς αὐτοῦ, καρπὸν δικαιοσύνης τρυγήσει. Φῶς δικαίοις διὰ παντός, καὶ παρὰ Κυρίου εὑρήσουσι χάριν καὶ δόξαν. Γλῶσσα σοφῶν καλὰ ἐπίσταται, καὶ ἐν καρδίᾳ αὐτῶν ἀναπαύσεται σοφία. Ἀγαπᾷ Κύριος ὁσίας καρδίας, δεκτοὶ δὲ αὐτῷ πάντες ἄμωμοι ἐν ὁδῷ. Σοφία Κυρίου φωτιεῖ πρόσωπον συνετοῦ· φθάνει γὰρ τοὺς ἐπιθυμοῦντας αὐτὴν προτοῦ γνωσθῆναι, καὶ εὐχερῶς θεωρεῖται ὑπὸ τῶν ἀγαπώντων αὐτήν. Ὁ ὀρθρίσας πρὸς αὐτήν, οὐ κοπιάσει, καὶ ὁ ἀγρυπνήσας δι' αὐτήν, ταχέως ἀμέριμνος ἔσται· ὅτι τοὺς ἀξίους αὐτῆς αὐτὴ περιέρχεται ζητοῦσα, καὶ ἐν ταῖς τρίβοις φαντάζεται αὐτοῖς εὐμενῶς. Σοφίας οὐ κατισχύσει ποτὲ κακία. Διὰ ταῦτα καὶ ἐραστὴς ἐγενόμην τοῦ κάλλους

www.tezaurliturgic.ro

αὐτῆς, καὶ ἐφίλησα ταύτην, καὶ ἐξεζήτησα ἐκ νεότητός μου, καὶ ἐζήτησα νύμφην ἀγαγέσθαι ἐμαυτῷ, ὅτι ὁ πάντων Δεσπότης ἠγάπησεν αὐτήν· μύστις γάρ ἐστι τῆς τοῦ Θεοῦ ἐπιστήμης, καὶ αἱρετὶς τῶν ἔργων αὐτοῦ. Οἱ πόνοι αὐτῆς εἰσὶν ἀρεταί· σωφροσύνην δὲ καὶ φρόνησιν αὕτη διδάσκει, δικαιοσύνην καὶ ἀνδρείαν, ὧν χρησιμώτερον οὐδὲν ἐστιν ἐν βίῳ ἀνθρώποις· εἰ δὲ καὶ πολυπειρίαν ποθεῖ τις, οἶδε τὰ ἀρχαῖα, καὶ τὰ μέλλοντα εἰκάζειν· ἐπίσταται στροφὰς λόγων, καὶ λύσεις αἰνιγμάτων· σημεῖα καὶ τέρατα προγινώσκει, καὶ ἐκβάσεις καιρῶν καὶ χρόνων· καὶ πᾶσι σύμβουλός ἐστιν ἀγαθή· ὅτι ἀθανασία ἐστὶν ἐν αὐτῇ, καὶ εὔκλεια ἐν κοινωνίᾳ λόγων αὐτῆς. Διὰ τοῦτο ἐνέτυχον τῷ Κυρίῳ, καὶ ἐδεήθην αὐτοῦ, καὶ εἶπον ἐξ ὅλης μου τῆς καρδίας· Θεὲ πατέρων, καὶ Κύριε τοῦ ἐλέους, ὁ ποιήσας τὰ πάντα τῷ λόγῳ σου, καὶ τῇ σοφίᾳ σου κατασκευάσας τὸν ἄνθρωπον, ἵνα δεσπόζῃ τῶν ὑπὸ σοῦ γενομένων κτισμάτων, καὶ διέπῃ τὸν κόσμον ἐν ὁσιότητι, καὶ δικαιοσύνῃ, δός μοι τὴν τῶν σῶν θρόνων πάρεδρον σοφίαν, καὶ μή με ἀποδοκιμάσῃς ἐκ παίδων σου· ὅτι ἐγὼ δοῦλος σός, καὶ υἱὸς τῆς παιδίσκης σου. Ἐξαπόστειλον αὐτὴν ἐξ ἁγίου κατοικητηρίου σου, καὶ ἀπὸ θρόνου δόξης σου, ἵνα συμπαροῦσά μοι διδάξῃ με, τί εὐάρεστόν ἐστι παρὰ σοί, καὶ ὁδηγήσῃ με ἐν γνώσει, καὶ φυλάξῃ με ἐν τῇ δόξῃ αὐτῆς. Λογισμοὶ γὰρ θνητῶν πάντες δειλοί, καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι αὐτῶν.

Σοφία Σολομῶντος τὸ Ἀνάγνωσμα.

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δὲ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος, ἀμαυροῖ τὰ καλά, καὶ ρεμβασμὸς ἐπιθυμίας, μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες, καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Εἰς τὴν Λιτήν.*

*Τὸ παρὸν τῆς* Μονῆς. Ἦχος α'.

Χαίροις Ἀναστασίας, τοῦ τρισμάκαρος Θεωνᾶ, Σεμνεῖον τὸ περιώνυμον· εὐφραίνου καὶ χόρευε, Θετταλίας τὸ εὖχος, καὶ τῶν ἱερῶν Μονῶν τὸ ἀξιοπρεπὲς σεμνολόγημα. Ἰδοὺ γὰρ κατέχεις ἐν κόλποις σου, ὡς θησαυρὸν πολυτίμητον, τὸ τοῦ σοῦ δομήτορος ἱερώτατον λείψανον, ἅπαντα διασῶζον τὰ τῆς ἁγιότητος σήμαντρα· τὸν κροκοβαφῆ χρωματισμόν, τὴν ἄρρητον εὐωδίαν, καὶ τὰ τῶν θαυμάτων ρεῖθρα, τὰ ποταμηδὸν προχεόμενα τοῖς μετὰ πίστεως προσπελάζουσιν. Ὅθεν ἐτησίως τοῦτον ἀνευφημοῦσα, εὐχαρίστως τῷ Σωτῆρι

www.tezaurliturgic.ro

ἀνάκραζε·Μεγαλυνθήτω ἡ δόξα σου Κύριε, ἀποδόντος τοῖς ἐμοῖς τέκνοις, τὸν ἴδιον Πατέρα, τῇ ταπεινώσει μου ὕψος τῆς εὐδοξίας, καὶ τῇ ἀσθενείᾳ μου τὸν πύργον τῆς ἰσχύος, καὶ παρέχοντος δι' αὐτοῦ πᾶσι τὸ μέγα ἔλεος *.

*Τοῦ Ἁγίου.* Ἦχος β'.

Ὄντως πεπλήρωται, τὸ τοῦ σοῦ πνευματικοῦ Πατρός, καὶ Ὁσιομάρτυρος Ἰακώβου, περὶ αὐτοῦ καὶ τῶν πνευματικῶν αὐτοῦ τέκνων, προφητικὸν ᾆσμα, καὶ χαριέστατον αἴνιγμα, Θεωνᾶ παναοίδιμε. Ἰδοὺ γὰρ καὶ ἐν οὐρανῷ καὶ ἐν τῇ γῇ, καὶ ζῶντες καὶ μετὰ θάνατον, οἱ μαθηταὶ τοῦ διδασκάλου ἀχώριστοι διαμένετε. Ἐκεῖ μὲν ἡνωμένοι τοῖς πνεύμασιν, ἐν δὲ τῇ Μονῇ ταύτῃ συνημμένοι τοῖς σώμασιν. Ὢ τοῦ θαύματος! πῶς καλλίστη ἡ ὑμῶν συνοικία! πῶς εὐωδιάζουσα ἡ ὑμετέρα συναυλία! ὑπὲρ τὸ Ἀαρὼν μύρον, καὶ δρόσον τὴν Ἑρμώνειον. Ἀλλὰ καὶ δεόμεθα, ὦ ξυνωρὶς διπλῆ τῶν Ὁσίων, καὶ ἡμᾶς ἐν ἑνώσει βιοτεύειν πρεσβεύσατε, τῷ ἑνοποιῷ Χριστῷ, καὶ Σωτῆρι τῶν ψυχῶν ἡμῶν.

Ἦχος γ'.

Πτέρυγας πνευματικῆς περιστερᾶς ἀναλαβὼν θεοφόρε, τὴν πρᾶξιν καὶ θεωρίαν, τὰς τῆς σοφίας ἀκρότητας, ψαλμικῶς ἐπετάσθης ἐπ' ὄρη νοητὰ καὶ αἰώνια, καὶ κατέδραμες ἀληθῶς εἰς τὴν πάντα νοῦν ὑπερέχουσαν, τοῦ Θεοῦ εἰρήνην, διὰ τῆς ἄκρας καθ' ἡσυχίαν ἑνώσεως, σαββατίσας ἀπὸ πάντων τῶν ὁρωμένων καὶ νοουμένων· ἧς καὶ νῦν ἐν οὐρανοῖς, πληρέστερον καταπολαύων μακάριε, αἴτησαι πρεσβείαις σου, εἰρήνην δωρηθῆναι τῷ κόσμῳ, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Ἦχος δ'.

Ὑπερβολὴν ἀγαθότητος, ἀγάπης καὶ ὑπακοῆς ἐνδεικνύμενος, τῷ σῷ κλεινῷ διδασκάλῳ Ἰακώβῳ, Θεωνᾶ ὡς ἐπιστήθιος μαθητής, συνηκολούθεις, ἐπὶ τὸ μακάριον τέλος τοῦ μαρτυρίου βαδίζοντι, οὐκ ἔτι ὡς μαθητής, ἀλλ' ὡς ἀδελφός, παρακαλῶν καὶ συμπάσχων τοῖς ἐκείνου διὰ Χριστὸν ἀγωνίσμασι, μιμούμενος τὸν ἐπιστήθιον Ἰωάννην, τὸν μέχρι Σταυροῦ τῷ Ἰησοῦ συνακολουθήσαντα. Ὅθεν ὥσπερ ἐκείνῳ ἀμοιβὴν τῆς τοιαύτης ἀγάπης, τὴν τῆς θεο-

* Κατὰ τὰ χειρόγραφα τῆς Ἱερᾶς Μονῆς Παντοκράτορος τὸ Ἰδιόμελον τοῦτο, εἰς ἦχον πλ. β', καὶ εἰς συνεπτυγμένην μορφήν, ἀνεφέρετο εἰς τὴν Ἱερὰν Μονὴν τῆς Ἁγίας Ἀναστασίας τῆς Φαρμακολυτρίας. *Χαίροις ἡ τῆς Ἁγίας Μονή, τῆς Χριστοῦ σεμνὴ Ἀναστασίας. Ἰδοὺ γὰρ κατέχεις ἐν κόλποις σου, ὡς θησαυρὸν ἀδαπάνητον, τὸ τοῦ σοῦ δομήτορος θεῖον λείψανον, Θεωνᾶ τοῦ τρισμάκαρος, ἅπαντα διασῶζον, τὰ τῆς ἁγιότητος θεῖα σήμαντρα. Ὅθεν ἐτησίως τοῦτον ἀνευφημοῦσα, εὐχαρίστως τῷ Θεῷ ἀναβόησον·Μεγαλυνθήτω ἡ δόξα σου Κύριε, ὅτι ἀπέδωκας τοῖς ἐμοῖς τέκνοις τὸν ἴδιον πατέρα, τὸν τὴν ἐμὴν ταπείνωσιν ἀνυψώσαντα, καὶ τὸν τῆς ἀσθενείας μου πύργον ἰσχύσαντα, καὶ πρεσβεύοντα ὑπὲρ αὐτῶν, πρὸς τὸν μόνον εὔσπλαγχνον.*

www.tezaurusliturgic.ro

λογίας ἐδωρήσατο χάριν, οὕτω καὶ σοὶ ὡς γνησίῳ μαθητῇ, τὴν αὐτὴν τῷ διδασκάλῳ, τῶν θαυμάτων ἐνέργειαν ἐχαρίσατο, ὁ ζυγῷ δικαιοσύνης τὰ χαρίσματα διανέμων Κύριος, καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος πλ. δ'.

Ἐν ταῖς ἀγρύπνοις σου προσευχαῖς, ἔχων ἀκλινεῖς πρὸς Θεόν, τοὺς τῆς ψυχῆς νοεροὺς ὀφθαλμούς, ἡγιασμένε ἀληθῶς Πάτερ Θεωνᾶ, ἐπὶ γῆς μὲν μετὰ ἀνθρώπων τῷ σώματι, ἐν οὐρανῷ δὲ μετὰ Ἀγγέλων ὑπῆρχες τῷ πνεύματι· διὰ τοῦτο καὶ νῦν ἡμεῖς ἄνθρωπον οὐράνιον, καὶ ἐπίγειον σὲ ὀνομάζομεν Ἄγγελον, καὶ χαίροις βοῶμέν σοι, ὁ τὴν τῶν ἀσωμάτων πολιτείαν, ἐν τῷ σῷ ἐπιδειξάμενος σώματι· χαίροις ὁ τὴν στενὴν καὶ τεθλιμμένην βαδίσας ὁδόν, καὶ διὰ ταύτης ἐλθὼν εἰς τὰ πλάτη τῆς οὐρανίου ζωῆς· ὁμόσκηνε Ἀσκητῶν· ὁμότροπε Ἀποστόλων· Ἱεραρχῶν συμπολῖτα· συγχορευτὰ τῶν Ἀγγέλων· κληρονόμε βασιλείας Χριστοῦ, ἧς καὶ ἡμεῖς ἀξιωθείημεν, ταῖς πρὸς Κύριον πρεσβείαις σου.

Δόξα. Ἦχος πλ. β'.

Θεωνᾶ Πατὴρ ἡμῶν, σὺ καὶ λόγοις καὶ ἔργοις διδάσκαλος γενόμενος σωτήριος ἡμῖν, πρὸς φῶς ὁδήγησας Χριστοῦ τῶν ἐντολῶν· διὸ πρὸς ὅν ἐπόθεις Ἰησοῦν μεταστάς, μὴ ἐάσῃς ἡμᾶς ὀρφανούς, ἀλλὰ συμπαρὼν ἡμῖν ἀεὶ τῷ πνεύματι Ἅγιε, καὶ διδάσκων ἀοράτως, καὶ καθοδηγῶν ἡμᾶς πρὸς τὰς ὁδοὺς τῶν ἀρετῶν, ἀξίους τῶν ἐπουρανίων ἀνάδειξον μονῶν, ἵνα ἐν τῇ ἱερᾷ, καὶ φοβερᾷ ἡμέρᾳ τῆς τῶν νεκρῶν ἀναστάσεως, καὶ τῆς τοῦ Χριστοῦ ἐπιφανείας, σὺ μὲν χαίρων κραυγάζῃς πρὸς αὐτόν· Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἅ μοι ἔδωκας ὁ Θεός· ἡμεῖς δὲ πάλιν βοῶμεν· Οὗτος Κύριε ὁ ὁδηγὸς τῆς σωτηρίας ἡμῶν, ὁ φιλόστοργος πατήρ, ὅν δέδωκας ἡμῖν, καὶ ὁ ἰατρὸς τῶν ἡμετέρων ψυχῶν· μεθ' οὗ καὶ ἀξίωσον ἡμᾶς, αὐλίζεσθαι Δέσποτα, ἐν ταῖς ἀειφώτοις σου σκηναῖς, καὶ σὲ δοξολογεῖν σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ Ἁγίῳ Πνεύματι.

Καὶ νῦν. *Θεοτοκίον*. Θεοτόκε, σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή...

*Εἰς τὸν Στίχον λέγομεν τὰ δ' Ἀναστάσιμα μόνον. Εἰ δὲ βούλει, λέγε πρῶτον τὸ ἓν Ἀναστάσιμον, εἶτα τὰ παρόντα Προσόμοια τοῦ Ἁγίου.*

Ἦχος πλ. α'.

Χαίροις ἀσκητικῶν.

Χαίροις τῶν Ἀσκητῶν καλλονή, μονήρους βίου ὁ κανὼν ὁ εὐθύτατος, ἡ στάθμη τῆς ἐγκρατείας, ἡ τῶν δακρύων πηγή, ταπεινοφροσύνης τὸ κειμήλιον, εὐχῆς ἐργαστήριον, ἀενάου τὸ ἥδιστον, ἐν τῇ καρδίᾳ, Ἰησοῦ ἀδολέσχημα, τῆς πραότητος, τὸ τερπνὸν ἐνδιαίτημα· ἥλιε διακρίσεως, εἰρήνης τὸ τέμενος, διπλῆς ἀγάπης ὁ οἶκος, τῆς πρὸς Θεὸν καὶ τὸν ἔγγιστα. Χριστὸν μὴ ἐλλείπῃς, Θεωνᾶ τοῦ ἱκετεύειν, ὑπὲρ τῶν δούλων σου.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Χαίροις ὁ Ἱεράρχης Χριστοῦ, Θεσσαλονίκης ὁ πανάγιος πρόεδρος, ἡ στήλη θεοσοφίας, διδασκαλίας πηγή, νεκταρῶδες νᾶμα ἡ προχέουσα, ποιμὴν θεοπρόβλητε, ὁ σκηνώσας τὸ ποίμνιον, εἰς τόπον χλόης, Θεωνᾶ καὶ εἰς ὕδατα, θείας γνώσεως, διεκθρέψας ἀοίδιμε. Αἴτησαι ἐκτενέστερον, Χριστὸν τὸν φιλάνθρωπον, τῶν ὀφλημάτων τὴν λύσιν, καὶ εἰρηναίαν κατάστασιν, ἡμῖν καταπέμψαι, τοῖς ἐν πίστει ἐκτελοῦσι,τὴν θείαν μνήμην σου.

Στίχ. Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην...

Ὅλος ἡνώθη σοὶ ὁ Θεός, ὅλῳ δι' ὅλου Θεωνᾶ παναοίδιμε, καὶ ὅλος ὅλῳ ἡνώθης, σὺ τῷ Θεῷ ὁλικῶς, καὶ συνανεκράθης διὰ χάριτος· ἐντεῦθεν γεγένησαι, ὃ προὐκλήθης θεώνυμε, θεωνυμίας, ἱερᾶς ἀξιούμενος, καὶ θεούμενος, ταῖς ἐνθέοις ἐλλάμψεσιν· ὅθεν καὶ νῦν ἱκέτευε, ἡμᾶς τοὺς τιμῶντάς σε, τοῦ τῷ Θεῷ ἑνωθῆναι, δι' ἀκραιφνοῦς ὁμοιώσεως, σὺν σοὶ καὶ μεθέξαι, θεϊκῆς ὁμωνυμίας, ὡς ἡ ὑπόσχεσις.

Δόξα. Ἦχος δ'.

Ἡ τοῦ Ἁγίου Πνεύματος ζωοπάροχος χάρις, τῇ σῇ ψυχῇ ἐνοικήσασα, Θεωνᾶ παναοίδιμε, πολλὰ δι' αὐτῆς, καὶ πρὸς τὸ συνημμένον σῶμά σου διεπόρθμευσε, τοῦ θείου κάλλους αὐτῆς τὰ τεκμήρια, ὅλον σε ψυχὴν καὶ σῶμα, ναὸν ἑαυτῆς κατασκευάσασα ἅγιον· διὸ καὶ μετὰ θάνατον, τῆς ψυχῆς σου χωρισθείσης ἀπὸ τοῦ σώματος, ἀχώριστος αὕτη τῶν ἀμφοτέρων διαμεμένηκε, τὴν μὲν ψυχὴν ἐν οὐρανοῖς, μέτοχον τῆς μακαρίας δόξης ἐργασαμένη, τὸ δὲ σῶμα ἐν τάφῳ ἀδιάφθορον συντηρήσασα, καὶ κρήνην θαυμάτων ὑπερφυῶν, καθ' ἑκάστην ἀποδεικνύουσα· Ὢ δόξης ἀκραιφνοῦς, ἧς περ ἠξίωσαι, θεομακάριστε Πάτερ! ἀλλ' αἴτησαι πρεσβείαις σου, καὶ ἡμῶν χαριτωθῆναι ψυχὰς καὶ τὰ σώματα.

Καὶ νῦν. *Θεοτοκίον.* Νεῦσον παρακλήσεσι σῶν ἱκετῶν Πανάμωμε...

*Ἀπολυτίκιον τὸ Ἀναστάσιμον. Δόξα.* Τοῦ *Ἁγίου.*

*Ἀπολυτίκιον.* Ἦχος πλ. δ'.

Ὀρθοδοξίας ὁδηγέ, εὐσεβείας διδάσκαλε καὶ σεμνότητος, τῶν Μοναστῶν ἡ καλλονή, Ἀρχιερέων θεόπνευστον ἐγκαλλώπισμα, Θεωνᾶ Πατὴρ ἡμῶν Ὅσιε, Θεσσαλονίκης τὸ καύχημα, λύρα τοῦ Πνεύματος, ἱκέτευε διὰ παντός, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Ἀπολυτίκιον.* Ἦχος δ'. Ὁ ὑψωθεὶς.

Ἀσκητικῶς προγυμνασθεὶς ἐν τῷ Ἄθῳ, σὺν Ἰακώβῳ τῷ θερμῷ σου προστάτῃ, τῶν ἀρετῶν ἐκείνου κατετρύφησας· ὅθεν ἱεράτευσας, Θεσσαλονίκης τῇ πόλει, καὶ λαὸν ἐποίμανας, τὸν αὐτῆς θεαρέστως, ὡς ἰσαπόστολος τρισμάκαρ Θεωνᾶ, καὶ Ἱεράρχης, Χριστοῦ γνησιώτατος.

Καὶ νῦν. *Θεοτοκίον.*

Καὶ Ἀπόλυσις.

www.tezaurliturgic.ro

*Εἰς τὸν Ὄρθρον.*

*Μετὰ δὲ τὴν α' Στιχολογίαν, λέγομεν τὰ Ἀναστάσιμα Καθίσματα τῆς α' καὶ β' Στιχολογίας ὁμοῦ, καὶ οὐδὲν τοῦ Ἁγίου. Καὶ τίθεται ἀνάγνωσις εἰς τὸ Κυριακοδρόμιον. Μετὰ δὲ τὴν β' Στιχολογίαν λέγομεν τὰ παρόντα Καθίσματα τοῦ Ἁγίου.*

Ἦχος πλ. α'.

Τὸν συνάναρχον Λόγον Πατρί.

Θεωνᾶν τῶν Ὁσίων τὸ ἐγκαλλώπισμα, εὐφημήσωμεν ὕμνοις ὡς τοῦ ἐχθροῦ προσβολάς, καταργήσαντα στερρῶς, καὶ ἐκριζώσαντα, τῆς σαρκὸς τὰς ἡδονάς, διὰ νηστείας συνεχοῦς, καὶ προσευχῆς ἐπιμόνου, καὶ διασώζοντα πάντας, τοὺς ἐκτελοῦντας τὴν θείαν μνήμην αὐτοῦ.

Δόξα. *Κάθισμα ἕτερον.* Ἦχος α'.

Τὸν τάφον σου Σωτήρ.

Ὁ μέγας Θεωνᾶς, τῶν Ὁσίων τὸ κλέος, λαμπτὴρ Ἱεραρχῶν, ὁ Μονῆς ταύτης Κτίτωρ, ὁ ζῶν καὶ μετὰ θάνατον, ἰατρὸς ὥς τις ἄριστος, νῦν ἐπέφανεν, εἰς τὴν παροῦσαν ἡμέραν, πάθη ἅπαντα, τῶν εὐφημούντων ἐκ πόθου, αὐτὸν ἐξιώμενος *.

Καὶ νῦν. Θεοτοκίον.

Παρθένε Μαριάμ, χρυσοπόρφυρε θρόνε, νεφέλη φωτεινή, καὶ οὐράνιε κλῖμαξ, καὶ πύλη χρυσήλατε, καὶ σκηνὴ θεοκόσμητε, ἡ κοσμήσασα, τὴν ἀκοσμίαν τοῦ κόσμου, κατακόσμησον, τὴν σὲ κοσμοῦσαν ἐν κόσμοις, ψυχήν μου τὴν ἄκοσμον *.

Ὁ Πολυέλεος.

Δοῦλοι Κύριον. Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός...

*Ἡ Ἐκλογή.*

Τῆς δεήσεώς μου. Ἀλληλούϊα.

Ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι, καὶ εἰσήκουσε τῆς δεήσεώς μου. **Ἀλληλούϊα.**
Ἰδοὺ ἐμάκρυνα φυγαδεύων, καὶ ηὐλίσθην ἐν τῇ ἐρήμῳ. **Ἀλληλούϊα.**
Ἠγρύπνησα καὶ ἐγενόμην ὡς στρουθίον μονάζον ἐπὶ δώματος. **Ἀλληλούϊα.**
Ἐγενήθη τὰ δάκρυά μου ἐμοὶ ἄρτος ἡμέρας καὶ νυκτός. **Ἀλληλούϊα.**

---

* Εἰς τὸν Κώδικα 608 τῆς Μονῆς Παντελεήμονος, φ. 67α, δὲν ὑπάρχει τὸ Κάθισμα αὐτό, ἀλλὰ τὸ ἑξῆς· Ἦχος α'. Τὸν τάφον σου Σωτήρ. *Ὁ τῆς τῶν Θετταλῶν, μητροπόλεως ποίμνης, ποιμάντωρ Θεωνᾶς, θεοπρόβλητος ὤφθη, ὁ πλήρης ἁγιότητος, καὶ θαυμάτων δεικνύμενος· οὗτος σήμερον, ἐν τῇ αὐτοῦ θείᾳ μνήμῃ, μακαρίζεται, καὶ τῷ Χριστῷ ὑπὲρ πάντων, πρεσβεύειν οὐ παύεται.*

* Εἰς τὸν Κώδικα 608 τῆς Μονῆς Παντελεήμονος, φ. 67α, ἀντὶ τοῦ Θεοτοκίου τούτου ὑπάρχει τό, *Χαῖρε Ἅγιον Ὄρος καὶ θεοβάδιστον.*

www.tezaurliturgic.ro

Καὶ συνεκάλυψα ἐν νηστείᾳ τὴν ψυχήν μου. Ἀλληλούϊα.
Τὰ γόνατά μου ἠσθένησαν ἀπὸ νηστείας, καὶ ἡ σάρξ μου ἠλλοιώθη δι' ἔλαιον. Ἀλληλούϊα.
Ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω. Ἀλληλούϊα.
Ὅτι ἐπελαθόμην τοῦ φαγεῖν τὸν ἄρτον μου. Ἀλληλούϊα.
Ἀπὸ φωνῆς τοῦ στεναγμοῦ μου ἐκολλήθη τὸ ὀστοῦν μου τῇ σαρκί μου. Ἀλληλούϊα.
Διὰ τοὺς λόγους τῶν χειλέων σου ἐγὼ ἐφύλαξα ὁδοὺς σκληράς. Ἀλληλούϊα.
Βοήθησόν μοι Κύριε, καὶ σῶσόν με κατὰ τὸ ἔλεός σου. Ἀλληλούϊα.
Τὸ ἀγαλλίαμά μου λύτρωσαί με ἀπὸ τῶν κυκλωσάντων με. Ἀλληλούϊα.
Ἀποκατάστησον τὴν ψυχήν μου ἀπὸ τῆς κακουργίας αὐτῶν. Ἀλληλούϊα.
Πλεονάκις ἐπολέμησάν με ἐκ νεότητός μου. Ἀλληλούϊα.
Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς. Ἀλληλούϊα.
Βέλος νηπίων ἐγενήθησαν αἱ πληγαὶ αὐτῶν. Ἀλληλούϊα.
Καὶ οἱ ὅσιοί σου εὐλογησάτωσάν σε. Ἀλληλούϊα.
Καὶ γνῶτε ὅτι ἐθαυμάστωσε Κύριος τὸν ὅσιον αὐτοῦ. Ἀλληλούϊα.
Ἀγαπήσατε τὸν Κύριον πάντες οἱ ὅσιοι αὐτοῦ. Ἀλληλούϊα.
Ὅτι Κύριος ἀγαπᾷ κρίσιν, καὶ οὐκ ἐγκαταλείψει τοὺς ὁσίους αὐτοῦ. Ἀλληλούϊα.
Φυλάσσει Κύριος τὰς ψυχὰς τῶν ὁσίων αὐτοῦ. Ἀλληλούϊα.
Καυχήσονται ὅσιοι ἐν δόξῃ, καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν. Ἀλληλούϊα.
Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ. Ἀλληλούϊα.
Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν. Ἀλληλούϊα.
Δεῦτε τέκνα ἀκούσατέ μου· φόβον Κυρίου διδάξω ὑμᾶς. Ἀλληλούϊα.
Διηγήσομαι τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε. Ἀλληλούϊα.
Εἶπα τοῖς παρανομοῦσι· μὴ παρανομεῖτε, καὶ τοῖς ἁμαρτάνουσι· μὴ ὑψοῦτε κέρας. Ἀλληλούϊα.
Στόμα δικαίου μελετήσει σοφίαν, καὶ ἡ γλῶσσα αὐτοῦ λαλήσει κρίσιν. Ἀλληλούϊα.
Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται. Ἀλληλούϊα.
Ψάλατε τῷ Κυρίῳ οἱ ὅσιοι αὐτοῦ, καὶ ἐξομολογεῖσθε τῇ μνήμῃ τῆς ἁγιωσύνης αὐτοῦ. Ἀλληλούϊα.

*Καὶ εὐθὺς τὰ Εὐλογητάρια. Εἶτα ἡ Μικρὰ Συναπτή. Καὶ μετ' αὐτὴν ἡ Ὑπακοή. Ἔπειτα Καθίσματα τοῦ Ἁγίου.*

Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Ὡς φωστὴρ ἐξέλαμψας, ἐν τῇ σῇ ποίμνῃ, Θεωνᾶ πανάριστε, ταῖς τῶν θαυμάτων ἀστραπαῖς, καταφωτίζων ἑκάστοτε, τοὺς ἀδιστάκτῳ, ψυχῇ προσιόντας σοι.

*Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.*

Τὰς σεπτὰς ἀγκάλας σου, αἷς τὸν Σωτῆρα, ἐν σαρκὶ ἐβάστασας, ὑπὲρ ἡμῶν τῶν ταπεινῶν, πρὸς τὴν αὐτοῦ ἀγαθότητα, ἔκτεινον Κόρη, καὶ ἵλεων ποίησον.

*Οἱ Ἀναβαθμοὶ τῆς Ὀκτωήχου. Τὸ Προκείμενον, καὶ τὸ Ἀναστάσιμον*

www.tezaurliturgic.ro


*Ἑωθινὸν Εὐαγγέλιον. Τό, Ἀνάστασιν Χριστοῦ θεασάμενοι. Ὁ Ν'.*

Δόξα. Τῆς μετανοίας ἄνοιξόν μοι πύλας Ζωοδότα...

Καὶ νῦν. Τῆς σωτηρίας εὔθυνόν μοι τρίβους Θεοτόκε...

*Εἶτα.* Στίχ. *Ἐλέησόν με ὁ Θεός. Τὸ παρὸν Ἰδιόμελον τοῦ Ἁγίου.*

Ἦχος πλ. β'.

Τὸν ὑπέρφωτον γνόφον εἰσελθών, δι' ἀβλεψίας, καὶ ἀγνωσίας, ἰδεῖν καὶ γνῶναι κατηξιώθης, τὸν θετικῶς πάσῃ γεννητῇ φύσει ἄγνωστον, καὶ ἀόρατον· καὶ νῦν θεὸς κατὰ χάριν χρηματίζων, ὅλος ὅλῳ τῷ κατὰ φύσιν Θεῷ ἑνούμενος, πρέσβευε διὰ παντός, Θεωνᾶ παναοίδιμε, φωτισθῆναι, καὶ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Οἱ Κανόνες ἐκ τῆς Ὀκτωήχου. Ὁ Ἀναστάσιμος καὶ ὁ Θεοτόκιος μετὰ τοῦ Εἱρμοῦ εἰς στ', καὶ ὁ α' Κανὼν τοῦ Τριῳδίου εἰς δ', καὶ ὁ παρὼν τοῦ Ἁγίου εἰς δ', οὗ ἡ Ἀκροστιχὶς μετὰ τῶν Θεοτοκίων.*

Μέλος Μονή σου προσφέρει μάκαρ τό δε.

Ὠδὴ α'. Ἦχος πλ. δ'. Ὁ Εἱρμός. Ἁρματηλάτην Φαραώ.

Μετ' ἐγκωμίων σὲ αἰνεῖν ἀρχόμεθα, τῶν Μοναχῶν ἡ πληθύς, τῆς σεπτῆς Μονῆς σου, Θεωνᾶ μακάριε, ὡς εὐσεβείας ἔρεισμα, ὡς ἡμῶν ποδηγέτην, ὡς Θετταλίας ἀγλάϊσμα, καὶ πιστῶν ἁπάντων κραταίωμα.

Ἐν ἐγκρατείᾳ τῆς σαρκὸς ἐνέκρωσας, τὰς ἀκαθέκτους ὁρμάς, Θεωνᾶ τρισμάκαρ, καὶ ψυχῆς ἐζώωσας, τῷ φωτισμῷ τῆς χάριτος, τὰς δυνάμεις θεόφρον· διὸ κἀμὲ ζωοποίησον, τὸν νενεκρωμένον τοῖς πάθεσι.

Λελαμπρυσμένος ἀρετῶν τοῖς κάλλεσι, ψυχῇ καὶ σώματι, γεγονὼς τρισμάκαρ, οἶκος ἐχρημάτισας, Πατρὸς Υἱοῦ καὶ Πνεύματος, ὡραιότατος ὄντως, καὶ φωτοφόρον ἀνάκτορον, καὶ θεοπρεπὲς ἐνδιαίτημα.

Θεοτοκίον.

Ὁ σαρκωθεὶς ἐκ σοῦ Θεὸς Πανάχραντε, δι' ἀγαθότητα, τὴν τῶν βροτῶν φύσιν, συμπαθῶς ἀνέπλασε, καὶ σὲ πιστοῖς ἀνέδειξε, προσφυγὴν ἐν ἀνάγκαις, ἐν τοῖς κινδύνοις βοήθειαν, καὶ παραμυθίαν ἐν θλίψεσιν.

*Καταβασία. Ἀνοίξω τὸ στόμα μου...*

Ὠδὴ γ'. Οὐρανίας ἁψῖδος.

Σαρκικῆς ἐμπαθείας, ὑπεραρθεὶς Ὅσιε, καὶ ἡδυπαθείας ψυχῆς τε, καὶ τῶν παθῶν Θεωνᾶ, νοὸς ἀοίδιμε, τῆς ἀπαθείας εἰς ὕψος, σθένει θείας χάριτος, Πάτερ ἀνέδραμες.

Μαθητὴν ἐγνωκότες, καὶ καθαρὸν ἔκτυπον, θείου Ἰακώβου τοῦ πάνυ,

www.tezaurliturgic.ro

Ὁσιομάρτυρος, ἀπομαξάμενον, χάριτας ὅλας ἐκείνου, Θεωνᾶ πανεύφημε, σὲ μακαρίζομεν.

Ὁλικῶς ἐσταυρώθη, κόσμος ἐν σοὶ Ὅσιε, καὶ σὺ ἀντιστρόφως τῷ κόσμῳ, ὡς Παῦλος ἔφησε, Σταυροῦ φραξάμενος, τῇ ἀηττήτῳ δυνάμει, ὃν καὶ μόνον καύχημα, ἔσχες ἀοίδιμε.

Θεοτοκίον.

Νέον βρέφος ὡράθη, ὁ Ποιητὴς Κύριος, πάντων τῶν αἰώνων ἐκ μήτρας, τῆς σῆς Θεόνυμφε· διὸ σου δέομαι, τὸν παλαιὸν ἐν κακίᾳ, ἀρετῇ νεάζοντα, δεῖξόν με Δέσποινα.

*Καταβασία. Τοὺς σοὺς ὑμνολόγους...*

*Κάθισμα.* Ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον.

Ἡ σορὸς τῶν λειψάνων σου Θεωνᾶ, ἰατρεῖον ἐδείχθη πνευματικόν, ὕδωρ τὸ νεκρέγερτον, ἀμβροσία τοῦ νέκταρος, τὸ μέλι τὸ ἐκ πέτρας, ρυὲν τὸ οὐράνιον, μάννα ἡ κολυμβήθρα, τὰ θαύματα χέουσα, τοῦ Σιλωὰμ ἡ κρήνη, τῆς Καρύας ὁ κῆπος, τὸ φρέαρ ζῶντος ὕδατος, ἐκ Λιβάνου προρρέοντος. Διὰ τοῦτο βοῶμέν σοι· Χάρισαι ἡμῖν τοῦ Χριστοῦ, Ἱεράρχα, τούτων τὰς ποιότητας, τοῖς πιστῶς ἐκτελοῦσι, τὴν πανίερον μνήμην σου.

*Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.*

Χαῖρε θρόνε πυρίμορφε τοῦ Θεοῦ· χαῖρε Κόρη καθέδρα βασιλική, κλίνη πορφυρόστρωτε, χρυσοπόρφυρε θάλαμε, χλαμὺς ἁλουργόχροε, τιμαλφέστατον τέμενος, ἀστραπηφόρον ἅρμα, λυχνία πολύφωτε· χαῖρε Θεοτόκε, δωδεκάτειχε πόλις, καὶ πύλη χρυσήλατε, καὶ παστὰς ἀγλαόμορφε, ἀγλαόχρυσε τράπεζα, θεοκόσμητον σκήνωμα· χαῖρε ἔνδοξε Νύμφη ἡλιοστάλακτε· χαῖρε μόνη ψυχῆς μου εὐπρέπεια.

Ὠδὴ δ'. Σύ μου ἰσχύς, Κύριε.

Ἡ καθαρά, καὶ ἱερά σου καὶ ἔνθεος, πολιτεία, θαυμαστὸν εἰργάσατο, σὲ Θεωνᾶ, καὶ εἰς τὸν λαμπρόν, τῆς Θεσσαλονίκης, ἀνήγαγε διὰ Πνεύματος, θρόνον καθάπερ λύχνον, ὑψηλὸν εἰς λυχνίαν, δᾳδουχοῦντα πιστῶν τὰ συστήματα.

Συμμορφωθείς, Χριστοῦ διαθέσεσιν Ὅσιε, μαρτυρίῳ, τῷ τῆς συνειδήσεως, καὶ ταῖς σκληραῖς, Πάτερ ἀγωγαῖς, τοῦ μονήρους βίου, εἰκότως καὶ συνδεδόξασαι, καὶ ψυχῶν καὶ σωμάτων, τοῦ ἰᾶσθαι τὰ πάθη, παρ' αὐτοῦ τὴν ἐνέργειαν εἴληφας.

Ὁ τοῦ Χριστοῦ, Ἀρχιερεὺς συνεκάλεσε, φιλεόρτους, πάντας εἰς ἑστίασιν, προθεὶς αὐτοῦ, τῶν ὑπερφυῶν, καὶ ἀξιαγάστων, κατορθωμάτων τὴν τράπεζαν, βοῶν φωνῇ μεγάλῃ· Οἱ ζωὴν ἀγαπῶντες, δεῦτε φάγετε ἄρτον ἀθάνατον.

Θεοτοκίον.

Ὑπερφυῶς, τὸν Ποιητὴν ἡ γεννήσασα, Θεοτόκε, παρὰ φύσιν πταίσμασιν,

www.tezaurliturgic.ro

ἐμὲ πολλοῖς, Δέσποινα Ἁγνή, περιπεπτωκότα, ἀνάστησον ἱκετεύω σε, καὶ κατὰ φύσιν βαίνειν, τὰς ὁδοὺς τὰς εὐθείας, τοῦ Υἱοῦ σου Παρθένε ἐνίσχυσον.

*Καταβασία. Τὴν ἀνεξιχνίαστον...*

Ὠδὴ ε'. Ἵνα τί με ἀπώσω.

Παραδείσου πηγάζει, θήκη τῶν λειψάνων σου εὔπνοιαν Θεωνᾶ, καὶ ὀσμὴ ὀστῶν σου, ὑπὲρ νάρδον καὶ κρόκον καὶ κάλαμον, κατευωδιάζει, τῶν προσκυνούντων τὰς αἰσθήσεις, καὶ ἐλαύνει δυσώδη νοσήματα.

Ραθυμοῦντι ἐν βίῳ, κέντρον ἐγρηγόρσεως γενοῦ μοι Ὅσιε, καὶ χειμαζομένῳ, γαληνὸν ὁρμητήριον φάνηθι, καὶ ἐκλείποντί μοι, χειραγωγὸς καὶ παραστάτης, καὶ εἰς κρίσιν ἔστῶτι βοήθεια.

Ὁ Χριστοῦ Ἱεράρχης, ὁ Θεσσαλονίκης πανάγιος πρόεδρος, Θεωνᾶς ὁ μέγας, τῆς Μονῆς ταύτης Κτίτωρ ὁ ἄριστος, ἥλιος καθάπερ, τῇ Ἐκκλησίᾳ ἀνατείλας, τῶν πιστῶν διανοίας κατηύγασε.

Θεοτοκίον.

Σφαῖρα ὤφθης χαρίτων, ἁπασῶν πολύαστρος Θεοχαρίτωτε, τῶν ζῳδίων κύκλος, δι' οὗ μέσον διέβη ὁ Ἥλιος, τῆς δικαιοσύνης, καὶ τῆς φρικτῆς οἰκονομίας, τὴν περίοδον πᾶσαν ἐπλήρωσε.

*Καταβασία. Ἐξέστη τὰ σύμπαντα...*

Ὠδὴ στ'. Ἱλάσθητί μοι Σωτήρ.

Φωτὶ τῶν σῶν πρεσβειῶν, πάντα τὰ νέφη διάλυσον, τῶν πειρασμῶν Θεωνᾶ, τῶν κατὰ τῆς ποίμνης σου, ἔσωθεν καὶ ἔξωθεν, ἐπεγειρομένων, ἵνα πόθῳ μεγαλύνῃ σε.

Ἐγνώρισεν ὀφθαλμοῖς, προβλεπτικοῖς ὁ Ἰάκωβος, τοῦ μαρτυρίου ὁδόν, τρέχων παμμακάριστε, τοῦ τόπου τὸ εὔθετον· ὅθεν σοὶ προεῖπε, τὴν ἐνταῦθα * συγκατοίκησιν.

Ραδίως πάθη σαρκός, ἐκάθηρας διὰ πράξεως, καὶ δι' εὐχῆς νοερᾶς, τὴν ψυχὴν ἐφώτισας, καὶ εἰς τελειότητος, διὰ τῆς ἀγάπης, ἀνηνέχθης τὴν ἀκρώρειαν.

Θεοτοκίον.

Ἐβάστασας τὸν Χριστόν, ἀκόπως ἐν τῇ κοιλίᾳ σου, ἀσπόρως τοῦτον Ἁγνή, ἐν μήτρᾳ συνέλαβες, ἀφθόρως δ' ἐγέννησας· ὢ τῶν τεραστίων! ποῖος νοῦς οὐκ ἐκπλαγήσεται;

*Καταβασία. Τὴν θείαν ταύτην...*

* Διὰ τὴν χρῆσιν τῆς Ἀκολουθίας ἐκτὸς τῆς Μονῆς ἀντὶ «ἐνταῦθα» *αὐτόθι*.

www.tezaurliturgic.ro

*Κοντάκιον.* Ἦχος πλ. δ'. Τῇ ὑπερμάχῳ.
Ὡς μοναζόντων ἀνυμνοῦμέν σε ἀκρέμονα,
Καὶ Θετταλίας Ἱεράρχην καὶ δομήτορα,
Τῆς Μονῆς σου ταύτης Ὅσιε καὶ βοῶμεν·
Ταῖς πρεσβείαις σου περίσωζε τὴν ποίμνην σου,
Ἀπὸ πάσης Θεωνᾶ νῦν περιστάσεως,
Πόθῳ κράζουσαν· Χαίροις Πάτερ τρισόλβιε *.

*Οἶκος.*

Ὁ τῶν χαρίτων βραβευτής, καὶ τῶν καρδιῶν γνώστης Κύριος, τὰς ὑπερφυεῖς σου εἰδὼς ἀρετάς, καὶ τὸν πρὸς αὐτὸν ἔνθεον ἔρωτα, Θεωνᾶ πανάοίδιμε, ποικίλοις σε χαρίσμασι κατεκόσμησεν ἐν γῇ καὶ ἐν οὐρανῷ, καὶ ζῶντα καὶ μετὰ θάνατον, ἱεραρχίας ταῖς καλλοναῖς καὶ ταῖς στολαῖς καταγλαΐσας, καὶ θαυμάτων κρήνην τὸ σῶμά σου ἀναδείξας, ἐξ οὗ οἱ προσιόντες πίστει, παντοδαπῶν νοσημάτων κομίζονται τὰ ἰάματα, καὶ σοὶ μετὰ πόθου κραυγάζουσι· Χαίροις Πάτερ τρισόλβιε.

*Εἶτα ἀναγινώσκεται τὸ Συναξάριον τῶν κατὰ τὴν ἡμέραν Ἁγίων εἰς τὸν Συναξαριστήν. Εἶτα λέγε.* Κυριακῇ Τετάρτῃ τῶν Ἁγίων Νηστειῶν, Μνήμην ἐπιτελοῦμεν τοῦ Ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν Θεωνᾶ, Ἀρχιεπισκόπου Θεσσαλονίκης καὶ Κτίτορος τῆς εὐαγοῦς Μονῆς τῆς Ἁγίας Ἀναστασίας τῆς Φαρμακολυτρίας, τοῦ θαυματουργοῦ.

Στίχοι. Στενὴν ὁδεύσας ἐν βίῳ Πάτερ τρίβον,
Τανῦν χορεύεις οὐρανοῦ εἰς τὸ πλάτος.
Πνεῦμα Θεωνᾶ, ἔνθεν ἀπέπτη εἰς κλυτὸν ἄστυ.

Ταῖς τῶν σῶν Ἁγίων πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ'. Παῖδες Ἑβραίων.

Ἵνα φωναῖς χαριστηρίοις, τὴν ἐτήσιον γεραίρωμέν σου μνήμην, ἐξελοῦ Θεωνᾶ, παντοίας ἐπηρείας, ἡμᾶς τοὺς ταύτην σήμερον, μετὰ πόθου ἐκτελοῦντας *.

Μόνος ἡνώθης Θεῷ μόνῳ, δι' ἀσκήσεως καὶ ἄκρας ἡσυχίας, καὶ χάριν φωτισμοῦ, ἐδέξω ἐν καρδίᾳ, καὶ στῦλος πυρὸς γέγονας, ὁδηγῶν τοὺς πλανωμένους.

Ἅπαντα σκύβαλα ἡγήσω, τὰ ὁρώμενα ἵνα Χριστὸν κερδήσῃς, τὸ ἀπρόσιτον

---

* Τὸ Κοντάκιον τοῦτο εἰς ἄλλην μορφὴν (πρβλ. τὸν Κώδικα 608, φ. 69α, τῆς Μονῆς Παντελεήμονος), ἔχει ὡς ἑξῆς. *Ὡς μοναζόντων ἀνυμνοῦμέν σε ἀκρέμονα, καὶ Θετταλίας Ἱεράρχην καὶ δομήτορα, τῆς Μονῆς σου Πάτερ Ὅσιε καὶ βοῶμεν· Ταῖς πρεσβείαις σου ἡμᾶς κινδύνων λύτρωσαι, καὶ ἐκ πάσης ἐναντίας περιστάσεως, πόθῳ κράζοντας· Χαίροις Πάτερ τρισόλβιε.*

* Ἀντί, ἡμᾶς τοὺς ταύτην σήμερον, μετὰ πόθου ἐκτελοῦντας, *ἡμᾶς τοὺς τὸ σὸν λείψανον, μετὰ πόθου προσκυνοῦντας.*

www.tezaurliturgic.ro

φῶς, τῶν καλῶν τὴν πηγαίαν, τὸ ἄκρον ἀντικείμενον, τῆς χαρᾶς τῶν μακαρίων.

Θεοτοκίον.

Κύκλῳ συνεπιτιθεμένων, τὰ φρυάγματα οὐ δέδοικα Παρθένε, νοητῶν δυσμενῶν, ἔχων σε προστασίαν, καὶ κραταιὰν ὑπέρμαχον, ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ.

*Καταβασία. Οὐκ ἐλάτρευσαν τῇ κτίσει...*

Ὠδὴ η'. Τὸν ἐν ὄρει ἁγίῳ δοξασθέντα.

Ἀκυμάντως τὸ πέλαγος τοῦ βίου, διεξῆλθες μὴ βραχεὶς ἁμαρτίαις, τοῦ Θεοῦ Λόγου αὔραις κυβερνώμενος, καὶ ταῖς ὁδηγίαις, Θεωνᾶ τρισμάκαρ, Πνεύματος τοῦ Ἁγίου.

Ῥυπωθεῖσαν ποικίλαις ἁμαρτίαις, τὴν ψυχήν μου καθάρισον ὑσσώπῳ, τῶν πρεσβειῶν σου Πάτερ καὶ λευκότερον, ὑπὲρ τὴν χιόνα, ὡς ὁ Δαβὶδ ψάλλει, δεῖξον τὸν σὸν δοῦλον.

Τὴν μεγίστην ἣν ἔχεις ἐν τῷ πόλῳ, δόξαν θέλων ὁ Κύριος γνωρίσαι, τοῖς ἐπὶ γῆς φυλάττει μετὰ θάνατον, σῷόν σου τὸ σῶμα, καὶ πηγὴν δεικνύει, θαυμάτων παραδόξων.

Θεοτοκίον.

Οὔτε Νόων ὁ νοῦς οὔτε ἀνθρώπων, ἑρμηνεῦσαι Παρθένε ἐξισχύσει, τὸ ὑπὲρ νοῦν σου καὶ φρικτὸν μυστήριον· σὺ γὰρ τὸν τῶν ὅλων, Ποιητὴν καὶ Πλάστην, ἐγέννησας ἀρρήτως *.

*Καταβασία. Παῖδας εὐαγεῖς...*

Ὠδὴ θ'. Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανός.

Δακρύων κατεβάλου δαβιτικῶς, ἀρετῶν ἐν τῷ βίῳ τὰ σπέρματα, νῦν δὲ χαρᾶς, δράγματα θερίζεις ἐν οὐρανοῖς, καὶ συγχορεύεις Θεωνᾶ, τάγμασιν Ὁσίων Ἱεραρχῶν, ὡς ὄντως Ἱεράρχης, καὶ Ὅσιος θεόφρον, ὑπὲρ ἡμῶν Χριστοῦ δεόμενος.

Ἐνώπιον παρίστασαι τοῦ Θεοῦ, Θεωνᾶ τῶν Ὁσίων ἀγλάϊσμα, καὶ καθορᾷς, πρόσωπον πρὸς πρόσωπον ἀληθῶς, θέαν Θεοῦ θεούμενος, καὶ φωτὸς πληρούμενος τριλαμποῦς, λυθέντων τῶν ἐσόπτρων, καὶ σκιῶν παρηγμένων, τῆς ἀληθείας ταῖς ἐμφάσεσι.

Προσδέχου ὡς ψελλίσματα βρεφικά, ὡς λεπτὰ τὰ τῆς χήρας ὁ Κύριος, ὡς προχοὴν, μύρου ὡς θυμίαμα ἐκλεκτόν, τὸν ὕμνον τοῦτον Ὅσιε *, ὃν ἡ ἱερά σου

---

* Εἰς τὰ χειρόγραφα τῶν Μονῶν Παντοκράτορος καὶ Παντελεήμονος ὑπάρχει τὸ ἑξῆς Θεοτοκίον. *Ὄρος μέγα τοῦ Θεοῦ ἀνεδείχθης, Θεοτόκε ἐν ᾧ Χριστὸς οἰκήσας, θείους ναοὺς εἰργάσατο τοὺς ψάλλοντας· Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.*

* Εἰς τὸν Κώδικα 608 τῆς Μονῆς Παντελεήμονος, φ. 70β, ἡ συνέχεια ἔχει ὡς ἑξῆς. *οἱ θιασῶται σοφὲ ἡμεῖς, τανῦν προσφέρομέν σοι, καὶ ἀμοιβὴν παράσχου, ὑπὲρ ἡμῶν τὰς ἱκεσίας σου.*

www.tezaurliturgic.ro

καὶ εὐαγής, Μονὴ προσέφερέ σοι, καὶ ἀμοιβὴν παράσχου, τὰς ὑπὲρ ταύτης ἱκεσίας σου.

Θεοτοκίον.

Παρθένε ἐξιλέωσαι σὸν Υἱόν, ἡμῖν πᾶσι πρεσβεύοντας ἔχουσα, σοὶ τῇ Ἁγνῇ, τὴν Ἀναστασίαν τὴν ἱεράν, καὶ τοὺς Ὁσιομάρτυρας, τρεῖς ᾧδε κειμένους ἐν τῇ Μονῇ, καὶ Θεωνᾶν σὺν τούτοις, τὸν ὄντως Ἱεράρχην· οὗ νῦν κροτοῦμεν τὴν πανήγυριν *.

*Καταβασία. Ἅπας γηγενής...*

*Ἐξαποστειλάριον. Ἀναστάσιμον. Εἶτα τοῦ Ἁγίου.*

Τοῖς Μαθηταῖς συνέλθωμεν.

Συμφώνως πάντες λέξωμεν· Χαῖρε Ἀρχιερέων, τὸ θεῖον ἐγκαλλώπισμα· χαῖρε Ἀναστασίας, Μονῆς δομήτωρ ὁ θεῖος· χαῖρε ὁ νομοθέτης, τῆς ἐν αὐτῇ ἀσκήσεως· χαῖρε Ὁσίων κλέος· χαῖρε σοφέ· χαῖρε τύπε ἄριστε· χαῖρε στῦλε, ἡμῶν τῶν ἀνυμνούντων σε, Θεωνᾶ θεηγόρε.

Ὁ οὐρανὸν τοῖς ἄστροις.

Ἐν ταῖς αὐλαῖς τοῦ Κυρίου, χοροβατῶν, ὦ Θεωνᾶ, σὺν Ἱεράρχαις Ὁσίοις, καὶ Ἀσωμάτων τοῖς χοροῖς, ὑπὲρ ἡμῶν τὴν Τριάδα, τῶν σὲ τιμώντων δυσώπει.

Θεοτοκίον. Ὅμοιον.

Χρυσοπλοκώτατε πύργε, καὶ δωδεκάτειχε πόλις, ἡλιοστάλακτε θρόνε, καθέδρα τοῦ Βασιλέως, ἀκατανόητον θαῦμα, πῶς γαλουχεῖς τὸν Δεσπότην.

*Εἰς τοὺς Αἴνους, ἱστῶμεν Στίχους η', καὶ ψάλλομεν Στιχηρὰ Ἀναστάσιμα γ'. Εἶτα τὸ παρὸν Ἰδιόμελον τοῦ Τριῳδίου.*

Ἦχος α'.

Δεῦτε ἐργασώμεθα, ἐν τῷ μυστικῷ ἀμπελῶνι, καρποὺς μετανοίας, ἐν τούτῳ ποιούμενοι, οὐκ ἐν βρώμασι καὶ πόμασι κοπιῶντες, ἀλλ' ἐν προσευχαῖς καὶ νηστείαις, τὰς ἀρετὰς κατορθοῦντες· τούτοις ἀρεσκόμενος, ὁ Κύριος τοῦ ἔργου, δηνάριον παρέχει, δι' οὗ ψυχὰς λυτροῦται, χρέους ἁμαρτίας, ὁ μόνος Πολυέλεος.

* Ἢ τοῦ Ἁγίου Θεωνᾶ. Ἰδιόμελον. Ἦχος δ'. *Θεωνᾶ πανάοίδιμε, καὶ τοῦ Ὁσιομάρτυρος Ἰακώβου μύστα παράκλησιε· σὺ γὰρ ἐκεῖνον μιμηθῆναι βουλόμενος, παρήλιος καθάπερ ἀνεδείχθης φωταυγής, ὅλας τὰς ἐκείνου χάριτας δεξάμενος. Ἐκεῖνος μὲν πολλοὺς ἔχων τοὺς μαθητάς, σὲ μόνον προεστῶτα τῶν ἄλλων παρέστησε, καὶ ὅμοιον αὐτῷ ἐκάλεσε· σὺ δὲ τῆς ἴσης δόξης πλουτῶν ἐν οὐρανοῖς, πρέσβευε Χριστῷ τῷ Θεῷ ὑπὲρ τῶν τιμώντων σε.*

---

* Εἰς τὰ χειρόγραφα τῶν Μονῶν Παντοκράτορος καὶ Παντελεήμονος ὑπάρχει τὸ ἑξῆς Θεοτοκίον. *Παράκλητον προβάλλομεν πρὸς Θεόν, σὲ Παρθένε οἱ δοῦλοί σου ἅπαντες. Ὅθεν Ἁγνή, δέησιν προσάγαγε τῷ Υἱῷ, Πατρί τε καὶ τῷ Πνεύματι, τῷ ἑνὶ τῶν πάντων Δημιουργῷ, Τριάδι τῇ Ἁγίᾳ, ἵνα ἡμᾶς οἰκτείρῃ, καὶ πάντας σώσῃ κόσμου Σώτειρα.*

### *Εἰς τοὺς Αἴνους.*

Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.

Ἀρχιερέων οἱ δῆμοι, Ὁσίων τάγματα, εἰς ἓν συναθροισθέντες, εὐφημήσωμεν πόθῳ, θείοις ἐγκωμίοις τὸν Θεωνᾶν, τὸν λαμπρὸν Ἀρχιποίμενα, τῆς Θετταλίας ἁπάσης καὶ τοῦ παντός, κόσμου πρέσβυν δυνατώτατον.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Τῶν ἀγαθῶν διδασκάλων, καὶ τὰ μαθήματα, ὄντως καλὰ ὑπάρχει, ὡς ἡ γρήγορος γλῶσσα, ἔφη Γρηγορίου· σὺ Θεωνᾶ, τὸν ὑψίνουν Ἰάκωβον, καθηγεμόνα πλουτήσας τὴν ὑψηλὴν, οὐρανῶν γνῶσιν μεμύησαι.

Στίχ. Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην...

Τὴν περιώνυμον ταύτην, Μονὴν ἀνήγειρας, ὦ Θεωνᾶ τρισμάκαρ, εἰς μέγεθος καὶ κάλλος, καὶ πλήθη συναθροίσας τῶν μοναχῶν, ἐν αὐτῇ ἱερώτατε, κοινοῦ τε βίου καὶ πόνων ἀσκητικῶν, ἐργαστήριον ἀνέδειξας.

Στίχ. Γνῶτε ὅτι ἐθαυμάστωσε Κύριος...

Ἐν προσευχῇ ἀενάῳ, ὅλον ἐπτέρωσας, τὸ νοερὸν σου Πάτερ, τὴν δὲ ἐπιθυμίαν, ἐμάρανας νηστείᾳ διηνεκεῖ, καὶ ἀγάπῃ κατέσβεσας, τὸ θυμικὸν· διὸ οἶκος τοῦ Παντουργοῦ, ἐγνωρίσθης θείου Πνεύματος.

Δόξα. Ἦχος πλ. α'.

Σαλπίσωμεν ἐν σάλπιγγι ᾀσμάτων, χορεύσωμεν τῷ πνεύματι, καὶ κροτήσωμεν εὐφραινόμενοι, ἐν τῇ πανδήμῳ πανηγύρει τοῦ θεοφόρου Πατρός. Ἀρχιερεῖς καὶ ἄρχοντες συντρεχέτωσαν, καὶ τὸν δι' ἀγώνων ἀσκητικῶν γενναίως, τοῦ σκότους τὸν ἄρχοντα, ἐγκαυχώμενον ἀναιδῶς, ἐν κρίσει τροπωσάμενον, εὐφημείτωσαν. Ποιμένες καὶ διδάσκαλοι, τὸν τοῦ καλοῦ Ποιμένος ἀκόλουθον ποιμένα, συνδραμόντες μακαρίσωμεν. Οἱ ὅσιοι τὸν ἀσκητήν· οἱ ἐν δυνάσταις τὸν ρύστην· οἱ ἐν συμφοραῖς τὸν σωτῆρα· οἱ νοσοῦντες τὸν ἰατρόν· οἱ ἁμαρτάνοντες τὴν θερμὴν πρεσβείαν· τὴν εὐκαρπίαν οἱ γηπονοῦντες· οἱ ὁδοιπόροι τὴν συνοδίαν· οἱ πάντες τὸν πανταχοῦ πᾶσι γενόμενον, μέγιστον Ἱεράρχην, ἐγκωμιάζοντες ἀνακράξωμεν· Θεωνᾶ παμμακάριστε, μεσίτευσον ὑπὲρ ἡμῶν, πρὸς τὸν Θεὸν καὶ Δεσπότην, καὶ ρῦσαι κολάσεως ταῖς ἱκεσίαις σου.

Καὶ νῦν. Θεοτοκίον. Ὑπερευλογημένη ὑπάρχεις Θεοτόκε...

*Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις. Δίδοται καὶ ἅγιον ἔλαιον ἐκ τῆς φωταγωγοῦ τοῦ Ἁγίου. Τὸ Ἑωθινὸν ψάλλεται ὡς συνήθως ἐν τῷ Νάρθηκι.*



www.tezaurliturgic.ro


*Εἰς τὴν Λειτουργίαν, τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ τοῦ ἤχου εἰς δ', καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἁγίου Θεωνᾶ ἡ στ' ᾠδὴ εἰς δ' *.*

*Ὁ Ἀπόστολος τῆς Κυριακῆς καὶ τοῦ Ἁγίου.*

Ἀδελφοί, πείθεσθε τοῖς ἡγουμένοις...

*Εὐαγγέλιον ὁμοίως τῆς Κυριακῆς καὶ τοῦ Ἁγίου Θεωνᾶ.*

Εἶπεν ὁ Κύριος· Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου...

*Κοινωνικόν.*

Αἰνεῖτε τὸν Κύριον, καὶ τό, Εἰς μνημόσυνον αἰώνιον...

Μεγαλυνάρια.

Χαίροις παμμακάριστε Θεωνᾶ, τῆς Θεσσαλονίκης, Ἱεράρχης ὁ εὐκλεής· χαίροις ὁ δομήτωρ, Μονῆς Ἀναστασίας, τῆς Φαρμακολυτρίας, ἅς διαφύλαττε.

Σύν τῷ Γρηγορίῳ τῷ Παλαμᾷ, καί τῷ Βασιλείῳ, χαίροις ἔνδοξε Θεωνᾶ, ἅμα Εὐσταθίῳ, Συμεών Ἰωσήφ τε, πόλεως Δημητρίου, πρέσβεις ἀκοίμητοι.

*Ἀπολυτίκιον.* Ἦχος δ'. Ὁ ὑψωθείς.

Ἀσκητικῶς προγυμνασθεὶς ἐν τῷ Ἄθῳ, σὺν Ἰακώβῳ τῷ θερμῷ σου προστάτῃ, τῶν ἀρετῶν ἐκείνου κατετρύφησας· ὅθεν ἱεράτευσας, Θεσσαλονίκης τῇ πόλει, καὶ λαὸν ἐποίμανας, τὸν αὐτῆς θεαρέστως, ὡς ἰσαπόστολος τρισμάκαρ Θεωνᾶ, καὶ Ἱεράρχης, Χριστοῦ γνησιώτατος.

* Ἢ οἱ Μακαρισμοὶ τοῦ ἤχου εἰς δ', καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἁγίου Θεωνᾶ ἡ γ' Ὠδὴ εἰς δ', καὶ ἡ στ' ἐκ τοῦ Κανόνος τοῦ Ἁγίου Ἰωάννου τῆς Κλίμακος εἰς δ'.